18 ἄβυσσον καὶ καρδίαν ἐξίχνευσεν
καὶ ἐν πανουργεύμασιν αὐτῶν διενοήθη·
ἔγνω γὰρ ὁ ὕψιστος πᾶσαν εἴδησιν
καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰῶνος
19 ἀπαγγέλλων τὰ παρεληλυθότα καὶ τὰ ἐσόμενα
καὶ ἀποκαλύπτων ἴχνη ἀποκρύφων·
20 οὐ παρῆλθεν αὐτὸν πᾶν διανόημα,
οὐκ ἐκρύβη ἀπ' αὐτοῦ οὐδὲ εἷς λόγος.
21 τὰ μεγαλεῖα τῆς σοφίας αὐτοῦ ἐκόσμησεν,
ὥς ἔστιν πρὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα·
οὔτε προσετέθη οὔτε ἠλαττώθη,
καὶ οὐ προσεδεήθη οὐδενὸς συμβούλου.
22 ὡς πάντα τὰ ἔργα αὐτοῦ ἐπιθυμητὰ
καὶ ὡς σπινθῆρός ἐστιν θεωρῆσαι·
23 πάντα ταῦτα ζῇ καὶ μένει εἰς τὸν αἰῶνα
ἐν πάσαις χρείαις, καὶ πάντα ὑπακούει.
24 πάντα δισσά, ἓν κατέναντι τοῦ ἑνός,
καὶ οὐκ ἐποίησεν οὐδὲν ἐλλεῖπον·
25 ἓν τοῦ ἑνὸς ἐστερέωσεν τὰ ἀγαθά,
καὶ τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;

43 1 Γαυρίαμα ὕψους στερέωμα καθαριότητος,
εἶδος οὐρανοῦ ἐν ὁράματι δόξης.
2 ἥλιος ἐν ὀπτασίᾳ διαγγέλλων ἐν ἐξόδῳ
σκεῦος θαυμαστόν, ἔργον ὑψίστου·
3 ἐν μεσημβρίᾳ αὐτοῦ ἀναξηραίνει χώραν,
καὶ ἐναντίον καύματος αὐτοῦ τίς ὑποστήσεται;
4 κάμινον φυσῶν ἐν ἔργοις καύματος,
τριπλασίως ἥλιος ἐκκαίων ὄρη·
ἀτμίδας πυρώδεις ἐκφυσῶν
καὶ ἐκλάμπων ἀκτῖνας ἀμαυροῖ ὀφθαλμούς.
5 μέγας κύριος ὁ ποιήσας αὐτόν,
καὶ ἐν λόγοις αὐτοῦ κατέσπευσεν πορείαν.

18$^{2}$ πανουργημ. S*A: cf. 1 6 | διενοηθην BC† | 18$^{3}$ υψιστος] κυριος B | ειδησιν] pr. συν S || 19$^{1}$] pr. και SC† | τα εσομ.] επεσομ. B† | 19$^{2}$ αποκαλ.] pr. ο S*† || 20$^{1}$ παρηλθεν] pr. γαρ S*† | 20$^{2}$] pr. και S$^{c}$ | ουδε > A || 21$^{2}$ ως SV] και εως B†, ος A pl. | 21$^{4}$ και ου] ουδε S*† | συμβουλου] pr. ανδρος S*† || 22$^{2}$ ως] εως S | εστι(ν) θεωρ.] επιθεωρ. S† || 24$^{2}$ εκλιπον B*†, εκλειπον B$^{c}$ pau.

43 1$^{1}$ καθαριοτητος] και καθαριοτης S† | 1$^{2}$ ουρανου] ανθρωπου S*: $\overline{\text{ανου}}$ pro $\overline{\text{ουνου}}$ || 2$^{1}$ διαγγελων A, αγγελλων S$^{c}$† || 4$^{1}$ φυσσων V, φυλασσων BS* | 4$^{2}$ τριπλασιων A | 4$^{3}$ εμφυσων B† || 5$^{1}$ κυριος] pr. ο A†: cf. 39 6 | αυτους S*† | 5$^{2}$ κατεπαυσεν S$^{c}$

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/456 UNIVERSITÄT LEIPZIG